ἑόρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ · ὅταν ἀποθάνῃ, θάψον αὐτὴν παρ' BA
5 ἐμοὶ ἐν ἑνὶ τάφῳ. 5πάσας τὰς ἡμέρας, παιδίον, κυρίου τοῦ θεοῦ
ἡμῶν μνημόνευε καὶ μὴ θελήσῃς ἁμαρτάνειν καὶ παραβῆναι τὰς ἐν-
τολὰς αὐτοῦ · δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου
6 καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς τῆς ἀδικίας · 6διότι ποιοῦντός σου
7 τὴν ἀλήθειαν εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου. 7καὶ πᾶσι τοῖς
ποιοῦσι τὴν δικαιοσύνην ἐκ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύ-
νην, καὶ μὴ φθονεσάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεη-
μοσύνην· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ,
8 καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ τὸ πρόσωπον τοῦ θεοῦ. 8ὡς σοὶ
ὑπάρχει, κατὰ τὸ πλῆθος ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην · ἐὰν
ὀλίγον σοι ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην·
9 10 9θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης · 10δι-
ότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ
11 σκότος · 11δῶρον γὰρ ἀγαθόν ἐστιν ἐλεημοσύνη πᾶσι τοῖς ποιοῦ-
12 σιν αὐτὴν ἐνώπιον τοῦ ὑψίστου. 12πρόσεχε σεαυτῷ, παιδίον, ἀπὸ
πάσης πορνείας καὶ γυναῖκα πρῶτον λαβὲ ἀπὸ τοῦ σπέρματος τῶν
πατέρων σου · μὴ λάβῃς γυναῖκα ἀλλοτρίαν, ἣ οὐκ ἔστιν ἐκ τῆς
φυλῆς τοῦ πατρός σου, διότι υἱοὶ προφητῶν ἐσμεν. Νωε, Αβρααμ,
Ισαακ, Ιακωβ οἱ πατέρες ἡμῶν ἀπὸ τοῦ αἰῶνος μνήσθητι, παιδίον,
ὅτι οὗτοι πάντες ἔλαβον γυναῖκας ἐκ τῶν ἀδελφῶν αὐτῶν καὶ εὐ-
λογήθησαν ἐν τοῖς τέκνοις αὐτῶν, καὶ τὸ σπέρμα αὐτῶν κληρονο-
13 μήσει γῆν. 13καὶ νῦν, παιδίον, ἀγάπα τοὺς ἀδελφούς σου καὶ μὴ
ὑπερηφανεύου τῇ καρδίᾳ σου ἀπὸ τῶν ἀδελφῶν σου καὶ τῶν υἱῶν
καὶ θυγατέρων τοῦ λαοῦ σου λαβεῖν σεαυτῷ ἐξ αὐτῶν γυναῖκα,
διότι ἐν τῇ ὑπερηφανίᾳ ἀπώλεια καὶ ἀκαταστασία πολλή, καὶ ἐν
τῇ ἀχρειότητι ἐλάττωσις καὶ ἔνδεια μεγάλη · ἡ γὰρ ἀχρειότης μή-
14 τηρ ἐστὶν τοῦ λιμοῦ. 14μισθὸς παντὸς ἀνθρώπου, ὃς ἐὰν ἐργάσῃ-
ται, παρὰ σοὶ μὴ αὐλισθήτω, ἀλλὰ ἀπόδος αὐτῷ παραυτίκα, καὶ
ἐὰν δουλεύσῃς τῷ θεῷ, ἀποδοθήσεταί σοι. πρόσεχε σεαυτῷ, παι-

5 και $1^0$ > B | αμαρτ. και > B*† | δικαιοσ.] pr. και A || 7 σοι] σου A | σε > A | μη $2^0$] pr. και B† || 10 εα εισελθειν] εασει ελθ. B(†) || 11 γαρ > A || 12 μη] pr. και A | ισαακ] pr. και A† | ιακωβ] pr. και A | ουτοι] αυτοι B† || 14 και $1^0$ > B†

---

ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ὅταν ἀποθάνῃ, θάψον αὐτὴν S
5 παρ' ἐμοὶ ἐν ἑνὶ τάφῳ. 5καὶ πάσας τὰς ἡμέρας σου, παιδίον, τοῦ κυ-
ρίου μνημόνευε καὶ μὴ θελήσῃς ἁμαρτεῖν καὶ παραβῆναι τὰς ἐντολὰς
αὐτοῦ· δικαιοσύνας ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ μὴ πο-
6 ρευθῇς ταῖς ὁδοῖς τῆς ἀδικίας · 6διότι οἱ ποιοῦντες ἀλήθειαν εὐοδω-
7 θήσονται ἐν τοῖς ἔργοις αὐτῶν. 7καὶ πᾶσιν τοῖς ποιοῦσιν δικαιοσύνην